# ΙΑΚΩΒΟΥ ΕΠΙΣΤΟΛΗ

1 P 1,1. **1** *Ἰάκωβος θεοῦ καὶ κυρίου Ἰησοῦ Χριστοῦ δοῦ-*
*λος ταῖς δώδεκα φυλαῖς ταῖς ἐν τῇ διασπορᾷ*
*χαίρειν.*
R 5,3–5. 2 *Πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί μου, ὅταν*
3 *πειρασμοῖς περιπέσητε ποικίλοις, γινώσκοντες ὅτι*
*τὸ δοκίμιον ὑμῶν τῆς πίστεως κατεργάζεται ὑπο-*
4 *μονήν. ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω, ἵνα*
*ἦτε τέλειοι καὶ ὁλόκληροι, ἐν μηδενὶ λειπόμενοι.*
Prv 2,3–6. 5 *Εἰ δέ τις ὑμῶν λείπεται σοφίας, αἰτείτω παρὰ*
*τοῦ διδόντος θεοῦ πᾶσιν ἁπλῶς καὶ μὴ ὀνειδί-*
Mc 11,24. 6 *ζοντος, καὶ δοθήσεται αὐτῷ. αἰτείτω δὲ ἐν πίστει,*
*μηδὲν διακρινόμενος· ὁ γὰρ διακρινόμενος ἔοικεν*
*κλύδωνι θαλάσσης ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ.*
7 *μὴ γὰρ οἰέσθω ὁ ἄνθρωπος ἐκεῖνος ὅτι λήμψεταί*
8 *τι παρὰ τοῦ κυρίου, ˡ ἀνὴρ δίψυχος, ἀκατάστατος*
2,5. 9 *ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ. Καυχάσθω δὲ ὁ*
1 P 1,24. 10 *ἀδελφὸς ὁ ταπεινὸς ἐν τῷ ὕψει αὐτοῦ, ὁ δὲ πλού-*
*σιος ἐν τῇ ταπεινώσει αὐτοῦ, ὅτι* ***ὡς ἄνθος χόρ-***
Is 40,6.7. 11 ***του*** *παρελεύσεται. ἀνέτειλεν γὰρ ὁ ἥλιος σὺν*

---

**Inscriptio: H pr** *επιστολαι καθολικαι* **et indicem** *et* **—** *επιστολη*
**1,6 R** *πιστει μηδεν* **7.8** ***ℵ*** *κυριου ανηρ* **9** *ο* **1°: [H]**

---

1,3 *δοκιμον* 5 *μη : ουκ* 7 — *τι* 8 *ανηρ : + γαρ*
9 — *ο αδελφος* 10 *ταπ. : πιστει*

τῷ καύσωνι καὶ ἐξήρανεν τὸν χόρτον, καὶ τὸ ἄνθος
αὐτοῦ ἐξέπεσεν καὶ ἡ εὐπρέπεια τοῦ προσώπου
αὐτοῦ ἀπώλετο· οὕτως καὶ ὁ πλούσιος ἐν ταῖς
πορείαις αὐτοῦ μαρανθήσεται. Μακάριος ἀνὴρ 12 Dn 12,12. 2 T 4,8.
ὃς ὑπομένει πειρασμόν, ὅτι δόκιμος γενόμενος 1 P 5,4.
λήμψεται τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο 1 K 9,25.
τοῖς ἀγαπῶσιν αὐτόν. Μηδεὶς πειραζόμενος λε- 13
γέτω ὅτι ἀπὸ θεοῦ πειράζομαι· ὁ γὰρ θεὸς ἀπεί-
ραστός ἐστιν κακῶν, πειράζει δὲ αὐτὸς οὐδένα.
ἕκαστος δὲ πειράζεται ὑπὸ τῆς ἰδίας ἐπιθυμίας 14 R 7,7.8.
ἐξελκόμενος καὶ δελεαζόμενος· εἶτα ἡ ἐπιθυμία 15 R 7,10.
συλλαβοῦσα τίκτει ἁμαρτίαν, ἡ δὲ ἁμαρτία ἀπο-
τελεσθεῖσα ἀποκυεῖ θάνατον. Μὴ πλανᾶσθε, 16
ἀδελφοί μου ἀγαπητοί. πᾶσα δόσις ἀγαθὴ καὶ 17 1 J 1,5.
πᾶν δώρημα τέλειον ἄνωθέν ἐστιν καταβαῖνον
ἀπὸ τοῦ πατρὸς τῶν φώτων, παρ᾽ ᾧ οὐκ ἔνι
παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα. βουληθεὶς 18 J 1,13. 1 P 1,23.
ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας, εἰς τὸ εἶναι ἡμᾶς
ἀπαρχήν τινα τῶν αὐτοῦ κτισμάτων.

Ἴστε, ἀδελφοί μου ἀγαπητοί. ἔστω δὲ πᾶς 19 Eccl 7,9.
ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι, βραδὺς εἰς τὸ
λαλῆσαι, βραδὺς εἰς ὀργήν· ὀργὴ γὰρ ἀνδρὸς 20 E 4,26.
δικαιοσύνην θεοῦ οὐκ ἐργάζεται. διὸ ἀποθέμενοι 21 Kol 3,8. 1 P 2,1.
πᾶσαν ῥυπαρίαν καὶ περισσείαν κακίας ἐν πραΰ-
τητι δέξασθε τὸν ἔμφυτον λόγον τὸν δυνάμενον
σῶσαι τὰς ψυχὰς ὑμῶν. γίνεσθε δὲ ποιηταὶ λό- 22 Mt 7,26. R 2,13.
γου, καὶ μὴ ἀκροαταὶ μόνον παραλογιζόμενοι
ἑαυτούς. ὅτι εἴ τις ἀκροατὴς λόγου ἐστὶν καὶ 23
οὐ ποιητής, οὗτος ἔοικεν ἀνδρὶ κατανοοῦντι τὸ

---

*15* TW *αποχύει* *17* H *εστιν,* *18* *αυτου* : h *εαυτου* *21* W *πραΰτητι,* *22* T *μονον ακροαται*

---

*11 — αυτου* $1^{o}$ *et* $2^{o}$ *12 ανθρωπος | επηγγ. : + ο κυριος 13 απο : υπο 16 μηδε 17 κατερχομενον | παρα | αποσκιασματος 19 ιστε : ωστε | — δε 20 ου κατεργαζεται 21 πραΰτ. : + σοφιας | υμων : ημων 22.23 λογου : νομου*

24 *πρόσωπον τῆς γενέσεως αὐτοῦ ἐν ἐσόπτρῳ· κατ-*
*ενόησεν γὰρ ἑαυτὸν καὶ ἀπελήλυθεν, καὶ εὐθέως*
2,12. R 8,2. 25 *ἐπελάθετο ὁποῖος ἦν. ὁ δὲ παρακύψας εἰς νόμον*
J 18,17. *τέλειον τὸν τῆς ἐλευθερίας καὶ παραμείνας, οὐκ*
*ἀκροατὴς ἐπιλησμονῆς γενόμενος ἀλλὰ ποιητὴς*
*ἔργου, οὗτος μακάριος ἐν τῇ ποιήσει αὐτοῦ ἔσται.*
Ps 34,14. 26 *Εἴ τις δοκεῖ θρησκὸς εἶναι, μὴ χαλιναγωγῶν γλῶσ-*
*σαν αὐτοῦ ἀλλὰ ἀπατῶν καρδίαν αὐτοῦ, τούτου*
27 *μάταιος ἡ θρησκεία. θρησκεία καθαρὰ καὶ ἀμίαν-*
*τος παρὰ τῷ θεῷ καὶ πατρὶ αὕτη ἐστίν, ἐπι-*
*σκέπτεσθαι ὀρφανοὺς καὶ χήρας ἐν τῇ θλίψει αὐ-*
*τῶν, ἄσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου.*

1 K 2,8. 2 *Ἀδελφοί μου, μὴ ἐν προσωπολημψίαις ἔχετε*
*τὴν πίστιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς*
H 10,25. 2 *δόξης. ἐὰν γὰρ εἰσέλθῃ εἰς συναγωγὴν ὑμῶν*
*ἀνὴρ χρυσοδακτύλιος ἐν ἐσθῆτι λαμπρᾷ, εἰσέλθῃ*
3 *δὲ καὶ πτωχὸς ἐν ῥυπαρᾷ ἐσθῆτι, καὶ ἐπιβλέψητε*
*ἐπὶ τὸν φοροῦντα τὴν ἐσθῆτα τὴν λαμπρὰν καὶ*
*εἴπητε· σὺ κάθου ὧδε καλῶς, καὶ τῷ πτωχῷ*
*εἴπητε· σὺ στῆθι ἐκεῖ ἢ κάθου ὑπὸ τὸ ὑποπόδιόν*
4 *μου, οὐ διεκρίθητε ἐν ἑαυτοῖς καὶ ἐγένεσθε κριταὶ*
1 K 1,26. 5 *διαλογισμῶν πονηρῶν; Ἀκούσατε, ἀδελφοί μου*
L 12,21. *ἀγαπητοί. οὐχ ὁ θεὸς ἐξελέξατο τοὺς πτωχοὺς*
*τῷ κόσμῳ πλουσίους ἐν πίστει καὶ κληρονόμους*
*τῆς βασιλείας ἧς ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐ-*
6 *τόν; ˈὑμεῖς δὲ ἠτιμάσατε τὸν πτωχόν. οὐχ οἱ*
*πλούσιοι καταδυναστεύουσιν ὑμῶν, καὶ αὐτοὶ ἕλ-*

---

*26* RW *θρῆσκος* | *αυτου bis* : 𝔎W *εαυτου* *26.27* T *θρησκια* *27* T— *τω* 2,*1* h *Χριστου,* | H *δοξης;* *3 και επιβλ.* : HW *επιβλ. δε* | *εκει* : 𝔎 *post η καθου* *4 ου διεκρ. ... πονηρων;* : h *διεκρ. ... πονηρων.* *6 υμων* : T *υμας*

---

*25 ουκ* : pr *ουτος* *26 ει δε* | *ειναι* : + *εν υμιν* *27 θρησκεια γαρ* | *θεω πατρι* 2,*1 της δοξης* : ante *του κυριου* : *vl* — *2 εις* : + *την* *3 υπο* : *επι et* pr *ωδε* | *υποποδ.* : + *των ποδων* *4 και ου* *5 του κοσμου* | *βασιλ.* : *επαγγελιας*

*κουσιν ὑμᾶς εἰς κριτήρια; οὐκ αὐτοὶ βλασφη-* 7
*μοῦσιν τὸ καλὸν ὄνομα τὸ ἐπικληθὲν ἐφ' ὑμᾶς;*
*εἰ μέντοι νόμον τελεῖτε βασιλικὸν κατὰ τὴν γρα-* 8 Lv 19,18.
*φήν·* ***ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν,***
*καλῶς ποιεῖτε· εἰ δὲ προσωπολημπτεῖτε, ἁμαρ-* 9 Dt 1,17.
*τίαν ἐργάζεσθε, ἐλεγχόμενοι ὑπὸ τοῦ νόμου ὡς*
*παραβάται. ὅστις γὰρ ὅλον τὸν νόμον τηρήσῃ,* 10 Mt 5,19.
*πταίσῃ δὲ ἐν ἑνί, γέγονεν πάντων ἔνοχος. ὁ γὰρ* 11 Ex 20,13.14. Dt 5,17 s.
*εἰπών·* ***μὴ μοιχεύσῃς,*** *εἶπεν καί·* ***μὴ φονεύσῃς·*** *εἰ*
*δὲ οὐ μοιχεύεις, φονεύεις δέ, γέγονας παραβάτης*
*νόμου. οὕτως λαλεῖτε καὶ οὕτως ποιεῖτε ὡς διὰ* 12 1,25.
*νόμου ἐλευθερίας μέλλοντες κρίνεσθαι. ἡ γὰρ* 13 Mt 5,7; 18,30. 34; 25,45.46.
*κρίσις ἀνέλεος τῷ μὴ ποιήσαντι ἔλεος· κατακαυ-*
*χᾶται ἔλεος κρίσεως. Τί τὸ ὄφελος, ἀδελφοί* 14 Mt 7,21.
*μου, ἐὰν πίστιν λέγῃ τις ἔχειν ἔργα δὲ μὴ ἔχῃ;*
*μὴ δύναται ἡ πίστις σῶσαι αὐτόν; ¹ἐὰν ἀδελφὸς* 15
*ἢ ἀδελφὴ γυμνοὶ ὑπάρχωσιν καὶ λειπόμενοι τῆς*
*ἐφημέρου τροφῆς, εἴπῃ δέ τις αὐτοῖς ἐξ ὑμῶν·* 16 1 J 3,17.
*ὑπάγετε ἐν εἰρήνῃ, θερμαίνεσθε καὶ χορτάζεσθε,*
*μὴ δῶτε δὲ αὐτοῖς τὰ ἐπιτήδεια τοῦ σώματος,*
*τί τὸ ὄφελος; οὕτως καὶ ἡ πίστις, ἐὰν μὴ ἔχῃ* 17
*ἔργα, νεκρά ἐστιν καθ' ἑαυτήν. ἀλλ' ἐρεῖ τις·* 18 G 5,6.
*σὺ πίστιν ἔχεις, κἀγὼ ἔργα ἔχω· δεῖξόν μοι τὴν*
*πίστιν σου χωρὶς τῶν ἔργων, κἀγώ σοι δείξω ἐκ*
*τῶν ἔργων μου τὴν πίστιν. σὺ πιστεύεις ὅτι εἷς* 19 Mc 5,7.
*ἐστιν ὁ θεός; καλῶς ποιεῖς· καὶ τὰ δαιμόνια*
*πιστεύουσιν καὶ φρίσσουσιν. θέλεις δὲ γνῶναι,* 20
*ὦ ἄνθρωπε κενέ, ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων*
*ἀργή ἐστιν; Ἀβραὰμ ὁ πατὴρ ἡμῶν οὐκ ἐξ ἔργων* 21 Gn 22,9.10.12.

---

*14.16* **H—** *το* *18 εχεις* : **h**; | *εχω* : **H.W**, *19 εις εστιν ο θεος* (**R·T**;) : **H** *εις θεος ἔστιν;* **hW** *εις ο θεός ἐστιν* (**h**; **W**,)

---

*7 ουκ : και 11 ειπας | εγενου | αποστατης 13 ανιλεως | κατακαυχαται vl -ασθω + δε 15 εαν δε | λειπ. : + ωσιν 16 και ειπη 18 — σου | χωρις : εκ | εργ. : + σου | — μου | πιστ. : + μου 20 αργη : νεκρα*

ἐδικαιώθη, **ἀνενέγκας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ ἐπὶ**
22 **τὸ θυσιαστήριον**; βλέπεις ὅτι ἡ πίστις συνήργει
τοῖς ἔργοις αὐτοῦ, καὶ ἐκ τῶν ἔργων ἡ πίστις
Gn 15,6. 23 ἐτελειώθη, καὶ ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα·
Is 41,8. 2 Chr 20,7. **ἐπίστευσεν δὲ Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ**
J 8,39. R 4,12. 24 **εἰς δικαιοσύνην**, καὶ **φίλος θεοῦ** ἐκλήθη. ὁρᾶτε
ὅτι ἐξ ἔργων δικαιοῦται ἄνθρωπος καὶ οὐκ ἐκ πίσ-
H 11,31. 25 τεως μόνον. ὁμοίως δὲ καὶ Ῥαὰβ ἡ πόρνη οὐκ ἐξ
Ios 2,4.15; 6,17. ἔργων ἐδικαιώθη, ὑποδεξαμένη τοὺς ἀγγέλους καὶ
17. 26 ἑτέρᾳ ὁδῷ ἐκβαλοῦσα; ὥσπερ γὰρ τὸ σῶμα χωρὶς
πνεύματος νεκρόν ἐστιν, οὕτως καὶ ἡ πίστις χωρὶς
ἔργων νεκρά ἐστιν.
3 Μὴ πολλοὶ διδάσκαλοι γίνεσθε, ἀδελφοί μου.
2 εἰδότες ὅτι μεῖζον κρίμα λημψόμεθα· πολλὰ γὰρ
πταίομεν ἅπαντες. εἴ τις ἐν λόγῳ οὐ πταίει, οὗ-
τος τέλειος ἀνήρ, δυνατὸς χαλιναγωγῆσαι καὶ ὅλον
3 τὸ σῶμα. εἰ δὲ τῶν ἵππων τοὺς χαλινοὺς εἰς
τὰ στόματα βάλλομεν εἰς τὸ πείθεσθαι αὐτοὺς
4 ἡμῖν, καὶ ὅλον τὸ σῶμα αὐτῶν μετάγομεν. ἰδοὺ
καὶ τὰ πλοῖα, τηλικαῦτα ὄντα καὶ ὑπὸ ἀνέμων
σκληρῶν ἐλαυνόμενα, μετάγεται ὑπὸ ἐλαχίστου
πηδαλίου ὅπου ἡ ὁρμὴ τοῦ εὐθύνοντος βούλεται·
5 οὕτως καὶ ἡ γλῶσσα μικρὸν μέλος ἐστὶν καὶ με-
γάλα αὐχεῖ. ἰδοὺ ἡλίκον πῦρ ἡλίκην ὕλην ἀνάπτει·
Mt 15,11.18.19; 12,36.37. 6 καὶ ἡ γλῶσσα πῦρ, ὁ κόσμος τῆς ἀδικίας, ἡ γλῶσσα
καθίσταται ἐν τοῖς μέλεσιν ἡμῶν, ἡ σπιλοῦσα ὅλον
τὸ σῶμα καὶ φλογίζουσα τὸν τροχὸν τῆς γενέσεως
7 καὶ φλογιζομένη ὑπὸ τῆς γεέννης. πᾶσα γὰρ φύσις
θηρίων τε καὶ πετεινῶν ἑρπετῶν τε καὶ ἐναλίων

---

*22 T συνεργεῖ | H αυτου και 26 ℵ— γαρ* **3,1.2** *TW λημψομεθα. ... απαντες· 5.6 T αναπτει η γλωσσα. πυρ ο κ. τ. αδικιας, (W πυρ. ... αδικιας) 6 η σπιλ. : T και σπ.*

*23 φιλος : δουλος 24 ορατε τοινυν 25 ουτως δε κ. αγγ. : κατασκοπους 26 των εργων* **3,2** *δυναμενος 3 ιδε | εις το στομα | εις 2° : προς 4 οπου αν 5 ωσαυτως | μεγαλαυχει | ηλικον : ολιγον 6 αδικιας : + ουτως (και) | γενεσ. : + ημων*

δαμάζεται καὶ δεδάμασται τῇ φύσει τῇ ἀνθρω-
πίνῃ, τὴν δὲ γλῶσσαν οὐδεὶς δαμάσαι δύναται 8 Ps 140,4.
ἀνθρώπων· ἀκατάστατον κακόν, μεστὴ ἰοῦ θανα-
τηφόρου. ἐν αὐτῇ εὐλογοῦμεν τὸν κύριον καὶ 9 Gn 1,27.
πατέρα, καὶ ἐν αὐτῇ καταρώμεθα τοὺς ἀνθρώ-
πους τοὺς **καθ' ὁμοίωσιν θεοῦ** γεγονότας· ἐκ τοῦ 10
αὐτοῦ στόματος ἐξέρχεται εὐλογία καὶ κατάρα.
οὐ χρή, ἀδελφοί μου, ταῦτα οὕτως γίνεσθαι. μήτι 11
ἡ πηγὴ ἐκ τῆς αὐτῆς ὀπῆς βρύει τὸ γλυκὺ καὶ
τὸ πικρόν; μὴ δύναται, ἀδελφοί μου, συκῆ ἐλαίας 12
ποιῆσαι ἢ ἄμπελος σῦκα; οὔτε ἁλυκὸν γλυκὺ
ποιῆσαι ὕδωρ. Τίς σοφὸς καὶ ἐπιστήμων ἐν 13 2,18.
ὑμῖν; δειξάτω ἐκ τῆς καλῆς ἀναστροφῆς τὰ ἔργα
αὐτοῦ ἐν πραΰτητι σοφίας. εἰ δὲ ζῆλον πικρὸν 14 E 4,31.
ἔχετε καὶ ἐριθείαν ἐν τῇ καρδίᾳ ὑμῶν, μὴ κατα-
καυχᾶσθε καὶ ψεύδεσθε κατὰ τῆς ἀληθείας. οὐκ 15 1,5.17.
ἔστιν αὕτη ἡ σοφία ἄνωθεν κατερχομένη, ἀλλὰ
ἐπίγειος, ψυχική, δαιμονιώδης. ὅπου γὰρ ζῆλος 16
καὶ ἐριθεία, ἐκεῖ ἀκαταστασία καὶ πᾶν φαῦλον
πρᾶγμα. ἡ δὲ ἄνωθεν σοφία πρῶτον μὲν ἁγνή 17
ἐστιν, ἔπειτα εἰρηνική, ἐπιεικής, εὐπειθής, μεστὴ
ἐλέους καὶ καρπῶν ἀγαθῶν, ἀδιάκριτος, ἀνυπό-
κριτος. καρπὸς δὲ δικαιοσύνης ἐν εἰρήνῃ σπεί- 18 Is 32,17. Mt 5,9.
ρεται τοῖς ποιοῦσιν εἰρήνην.

Πόθεν πόλεμοι καὶ πόθεν μάχαι ἐν ὑμῖν; οὐκ 4 1 P 2,11.
ἐντεῦθεν, ἐκ τῶν ἡδονῶν ὑμῶν τῶν στρατευομέ-
νων ἐν τοῖς μέλεσιν ὑμῶν; ἐπιθυμεῖτε, καὶ οὐκ 2
ἔχετε· φονεύετε καὶ ζηλοῦτε, καὶ οὐ δύνασθε
ἐπιτυχεῖν· μάχεσθε καὶ πολεμεῖτε. οὐκ ἔχετε

---

8 T δυναται δαμασαι 14 H εριθιαν | T κατακαυχ. της αληθ. και ψευδ. 15 HW δαιμονιωδης· 16 H εριθια | εκει : W+ και 4,2 h φονευετε. 2 ουκ 2º : T pr και

---

8 ακατασχετον 9 κυριον : θεον 12 (ουτως) ουδεμια πηγη αλυκ. και γλ. 13 τις : ει τις vl — 14 δε : + αρα 17 και ανυποκριτος 4,1 — ποθεν 2º

3 διὰ τὸ μὴ αἰτεῖσθαι ὑμᾶς· ˈαἰτεῖτε καὶ οὐ λαμ-
βάνετε, διότι κακῶς αἰτεῖσθε, ἵνα ἐν ταῖς ἡδοναῖς
L 6,26. R 8,7. 4 ὑμῶν δαπανήσητε. μοιχαλίδες, οὐκ οἴδατε ὅτι
1 J 2,15. ἡ φιλία τοῦ κόσμου ἔχθρα τοῦ θεοῦ ἐστιν; ὃς
ἐὰν οὖν βουληθῇ φίλος εἶναι τοῦ κόσμου, ἐχθρὸς
Ex 20,3.5. 5 τοῦ θεοῦ καθίσταται. ἢ δοκεῖτε ὅτι κενῶς ἡ
Mt 6,24. γραφὴ λέγει· πρὸς φθόνον ἐπιποθεῖ τὸ πνεῦμα
Prv 3,34. Job 22,29. 6 ὃ κατῴκισεν ἐν ἡμῖν; μείζονα δὲ **δίδωσιν χάριν**·
Mt 23,12. 1 P 5,5. διὸ λέγει· **ὁ θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, τα-**
E 6,12. 7 **πεινοῖς δὲ δίδωσιν χάριν.** ὑποτάγητε οὖν τῷ θεῷ·
1 P 5,8.9. ἀντίστητε δὲ τῷ διαβόλῳ, καὶ φεύξεται ἀφ' ὑμῶν·
Zch 1,3. 8 ˈἐγγίσατε τῷ θεῷ, καὶ ἐγγιεῖ ὑμῖν. καθαρίσατε
Is 1,16. χεῖρας, ἁμαρτωλοί, καὶ ἁγνίσατε καρδίας, δίψυχοι.
9 ταλαιπωρήσατε καὶ πενθήσατε καὶ κλαύσατε· ὁ
γέλως ὑμῶν εἰς πένθος μεταστραφήτω καὶ ἡ χαρὰ
1 P 5,6. 10 εἰς κατήφειαν. ταπεινώθητε ἐνώπιον κυρίου, καὶ
11 ὑψώσει ὑμᾶς. Μὴ καταλαλεῖτε ἀλλήλων, ἀδελ-
φοί. ὁ καταλαλῶν ἀδελφοῦ ἢ κρίνων τὸν ἀδελ-
φὸν αὐτοῦ καταλαλεῖ νόμου καὶ κρίνει νόμον·
εἰ δὲ νόμον κρίνεις, οὐκ εἶ ποιητὴς νόμου ἀλλὰ
Mt 7,1. 12 κριτής. εἷς ἐστιν ὁ νομοθέτης καὶ κριτής, ὁ
R 2,1; 14,4. δυνάμενος σῶσαι καὶ ἀπολέσαι· σὺ δὲ τίς εἶ, ὁ
κρίνων τὸν πλησίον;

Prv 27,1. 13 Ἄγε νῦν οἱ λέγοντες· σήμερον ἢ αὔριον πορευ-
σόμεθα εἰς τήνδε τὴν πόλιν καὶ ποιήσομεν ἐκεῖ
L 12,20. 14 ἐνιαυτὸν καὶ ἐμπορευσόμεθα καὶ κερδήσομεν· οἵ-

---

3 W δαπανησετε 3.4 T , μοιχαλιδες. 4 T εστιν τω θεω 5 λεγει· ... ημιν; : h λεγει; ... ημιν; vl λεγει; ... ημιν, (sic T) W λεγει — ... ημιν, 6 W χαριν — ($1^o$) 8 HW εγγισει 9 T— και $2^o$ | ℌW μετατραπητω 10 W του κυριου 12 εστιν ο : ℌ ἔστιν W ἐστὶν

---

4 μοιχοι και μοιχαλιδες | τ. κοσμου τουτου | ἐχθρὰ 6 — διο ... χαριν 7 — δε 9 — και κλαυσ. 10 ταπ. : + ουν 11 η και | ουκ : ουκετι 12 — ο $2^o$ | — δε | ος κρινεις τον ετερον 13 η : και | ενιαυτ. : + ενα

τινες οὐκ ἐπίστασθε τὸ τῆς αὔριον· ποία [γὰρ] Ps 39,6.12.
ἡ ζωὴ ὑμῶν; ἀτμὶς γάρ ἐστε ἡ πρὸς ὀλίγον φαι-
νομένη, ἔπειτα καὶ ἀφανιζομένη· ἀντὶ τοῦ λέγειν 15 Act 18,21.
ὑμᾶς· ἐὰν ὁ κύριος θελήσῃ, καὶ ζήσομεν καὶ
ποιήσομεν τοῦτο ἢ ἐκεῖνο. νῦν δὲ καυχᾶσθε ἐν 16
ταῖς ἀλαζονίαις ὑμῶν· πᾶσα καύχησις τοιαύτη
πονηρά ἐστιν. εἰδότι οὖν καλὸν ποιεῖν καὶ μὴ 17 L 12,47.
ποιοῦντι, ἁμαρτία αὐτῷ ἐστιν. Ἄγε νῦν οἱ 5 L 6,24.
πλούσιοι, κλαύσατε ὀλολύζοντες ἐπὶ ταῖς ταλαι-
πωρίαις ὑμῶν ταῖς ἐπερχομέναις. ὁ πλοῦτος 2 Mt 6,19.
ὑμῶν σέσηπεν, καὶ τὰ ἱμάτια ὑμῶν σητόβρωτα
γέγονεν, ὁ χρυσὸς ὑμῶν καὶ ὁ ἄργυρος κατίωται, 3 Prv 16,27.
καὶ ὁ ἰὸς αὐτῶν εἰς μαρτύριον ὑμῖν ἔσται καὶ
φάγεται τὰς σάρκας ὑμῶν ὡς **πῦρ**. **ἐθησαυρίσατε**
ἐν ἐσχάταις ἡμέραις. ἰδοὺ ὁ **μισθὸς** τῶν ἐργατῶν 4 Lv 19,13.
τῶν ἀμησάντων τὰς χώρας ὑμῶν ὁ ἀφυστερη- Dt 24,14.15.
μένος **ἀφ' ὑμῶν κράζει**, καὶ αἱ βοαὶ τῶν θερισάν- Ml 3,5. Is 5,9.
των **εἰς τὰ ὦτα κυρίου σαβαὼθ** εἰσελήλυθαν. Job 31,38–40.
ἐτρυφήσατε ἐπὶ τῆς γῆς καὶ ἐσπαταλήσατε, ἐθρέ- 5 L 16,19.25. Jr 12,3.
ψατε τὰς καρδίας ὑμῶν **ἐν ἡμέρᾳ σφαγῆς**. κατεδικά- 6 Prv 3,34 Lxx.
σατε, ἐφονεύσατε τὸν δίκαιον· οὐκ **ἀντιτάσσεται** Hos 1,6 Lxx.
ὑμῖν.

Dt 11,14. Joel 2,23.
Μακροθυμήσατε οὖν, ἀδελφοί, ἕως τῆς παρου- 7 Zch 10,1. Jr 5,24.
σίας τοῦ κυρίου. ἰδοὺ ὁ γεωργὸς ἐκδέχεται τὸν L 21,19.
τίμιον καρπὸν τῆς γῆς, μακροθυμῶν ἐπ' αὐτῷ H 10,36.
ἕως λάβῃ **πρόϊμον καὶ ὄψιμον**. μακροθυμήσατε 8 H 10,25.
καὶ ὑμεῖς, στηρίξατε τὰς καρδίας ὑμῶν, ὅτι ἡ 1 Th 2,16.
παρουσία τοῦ κυρίου ἤγγικεν. μὴ στενάζετε, 9

---

*14* HW— *το* : h *τα* | *αυριον· ... υμων;* : ℵW *αυριον ... υμων·* | *[γαρ]* : hT—HW | h— *γαρ* | ℵW— *η* 2° *15* ℵ *θελη* | *, και ζησομεν* : T *και ζησομεν,* *16* RW *αλαζονειαις* **5**,*3 υμων ως πυρ.* (h·) *εθ.* : ℵ *υμων· ως πυρ εθ.* *6* H *δικαιον.* | ℵ *υμιν;* *7* W *πρωϊμον*

---

*16 κατακαυχασθε* **5**,*1 κλαυσονται* *8 ως* : pr *ο ιος* *4 απεστερημενος* *5* — *και* | *εν* : pr *ως* *7 εως* 2° : + *ου* vl *αν* | *λαβη* : + *υετον* *8 μακροθ.* : + *ουν*

ἀδελφοί, κατ' ἀλλήλων ἵνα μὴ κριθῆτε· ἰδοὺ ὁ
Mt 5,12. 10 κριτὴς πρὸ τῶν θυρῶν ἕστηκεν. ὑπόδειγμα λά-
βετε, ἀδελφοί, τῆς κακοπαθείας καὶ τῆς μακρο-
θυμίας τοὺς προφήτας, οἳ ἐλάλησαν ἐν τῷ ὀνό-
Dn 12,12. 11 ματι κυρίου. ἰδοὺ **μακαρίζομεν τοὺς ὑπομείναντας**·
Ps 103,8; 111,4. Job 1,21.22. τὴν ὑπομονὴν Ἰὼβ ἠκούσατε, καὶ τὸ τέλος κυρίου
εἴδετε, ὅτι **πολύσπλαγχνός ἐστιν ὁ κύριος καὶ οἰκ-**
Mt 5,34–37. 12 **τίρμων**. Πρὸ πάντων δέ, ἀδελφοί μου, μὴ
ὀμνύετε, μήτε τὸν οὐρανὸν μήτε τὴν γῆν μήτε
ἄλλον τινὰ ὅρκον· ἤτω δὲ ὑμῶν τὸ ναὶ ναί, καὶ
Ps 50,15. 13 τὸ οὒ οὔ, ἵνα μὴ ὑπὸ κρίσιν πέσητε. Κακο-
Kol 3,16. παθεῖ τις ἐν ὑμῖν; προσευχέσθω· εὐθυμεῖ τις;
Mc 6,13. 14 ψαλλέτω. ἀσθενεῖ τις ἐν ὑμῖν; προσκαλεσάσθω
τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας, καὶ προσευ-
ξάσθωσαν ἐπ' αὐτὸν ἀλείψαντες ἐλαίῳ ἐν τῷ
Mc 16,18. 15 ὀνόματι τοῦ κυρίου. καὶ ἡ εὐχὴ τῆς πίστεως
σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ κύριος·
κἂν ἁμαρτίας ᾖ πεποιηκώς, ἀφεθήσεται αὐτῷ.
16 ἐξομολογεῖσθε οὖν ἀλλήλοις τὰς ἁμαρτίας, καὶ
εὔχεσθε ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε· πολὺ ἰσχύει
1 Rg 17,1. 17 δέησις δικαίου ἐνεργουμένη. Ἠλείας ἄνθρωπος
L 4,25. Act 14,15. ἦν ὁμοιοπαθὴς ἡμῖν, καὶ προσευχῇ προσηύξατο
τοῦ μὴ βρέξαι, καὶ οὐκ ἔβρεξεν ἐπὶ τῆς γῆς
1 Rg 18,42. 18 ἐνιαυτοὺς τρεῖς καὶ μῆνας ἕξ· καὶ πάλιν προσηύ-
ξατο, καὶ ὁ οὐρανὸς ἔδωκεν ὑετὸν καὶ ἡ γῆ ἐβλά-
G 6,1. 19 στησεν τὸν καρπὸν αὐτῆς. Ἀδελφοί μου, ἐάν
τις ἐν ὑμῖν πλανηθῇ ἀπὸ τῆς ἀληθείας καὶ ἐπι-

---

*9* T κατ αλληλων, αδελφοι, *10* H κακοπαθιας *11* hW— ο *12* H τό Ναί et τό Οὔ · *13.14* W υμιν, ... τις, ... υμιν, *14* αλειψ. : R+ αυτον | H [του κυριου] *16* ℜW προσευχεσθε | HW ιαθητε. *17* RW Ἡλίας *18* ℜW υετον εδωκεν

---

*9.10* αδελφ. : + μου *10* εχετε post μακροθ. pro λαβετε | — εν *11* υπομενοντας | πολυευσπλαγχνος | — ο κυριος *12* δε 2° : + ο λογος | εις υποκρισιν *15* προσευχη | αφεθησονται *16* — ουν | τα παραπτωματα *19* — μου | της : + οδου της

*στρέψῃ τις αὐτόν, γινωσκέτω ὅτι ὁ ἐπιστρέψας* 20 Ps 51,15.
*ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ σώσει ψυχὴν* Prv 10,12. 1 P 4,8.
*αὐτοῦ ἐκ θανάτου καὶ καλύψει πλῆθος ἁμαρτιῶν.*

---

*20* ℜW *γινωσκετε* (W,) | *αυτου* 2° : [R] : hW *post θανατου*

---

*20* fin + *αμην*

This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/